## ΕΙΣ ΑΥΛΗΤΑΣ, ΚΑΙ ΑΥΘΙΣ ὀρχηστάς, κεφ. ια.

### ΦΙΛΙΠΠΟΥ.

Ἱμερόεν αὐλήσαντι πολυτρήτων διὰ λωτῶν,
Εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ γλαφύρᾳ,
Μαρσύη, ἐψεύσω τεὸν εὕρεμα. σοῦ γὰρ ἀθήνης
Αὐλοὺς ἐκ Φρυγίης οὗτος ἐληΐσατο.
Εἰ δὲ σὺ τοιούτοις τότ᾽ ἐνέπνεες, οὐκ ἂν ὑάγνις
Τὴν ἐπὶ μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

### ΒΟΗΘΟΥ.

Εἰ τοῖος διόνυσος ἐς ἱερὸν ἦλθεν ὄλυμπον
Κωμάζων λήναις σύν ποτε καὶ σατύροις,
Οἷον ὁ τεχνήεις πυλάδης ὠρχήσατο κεῖνον
Ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων,
Παυσαμένη ζήλου διὸς ἂν φάτο σύγγαμος ἥρη,
Ἐψεύσω σεμέλη, βάκχον ἐγὼ δ᾽ ἔτεκον.

### ΑΝΤΙΠΑΤΡΟΥ.

Ὀρφεὺς θῆρας ἔπειθε, σὺ δ᾽ ὀρφέα· φοῖβος ἐνίκα
Τὸν Φρύγα, σοὶ δ᾽ εἴκει μελπομένῳ γλαφυρά.
Οὔνομα καὶ τέχνης, καὶ σώματος, οὗ κεν ἀθήνη
Ἔρριψεν λωτοὺς τοῖα μελιζομένη,
Οἷα σὺ ποικιλότερπε. σάφ᾽ ὑπνώσαι κεν ἀκούων
Αὐτὸς πασιθέης ὕπνος ἐν ἀγκαλίσιν.

### ΑΛΚΑΙΟΥ.

Σύμφωνον μαλακοῖσι κερασσάμενος θρόον αὐλοῖς
Δωρόθεος, γοεροὺς ἔπνεε δαρδανίδας,

Καὶ